*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

*Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε, ἐμφανείαις μυστικαῖς, Πάτερ ἐπαλλήλως ὡράθης, τῇ εὐσεβεῖ γυναικί, τότε σοῦ τὰ πάντιμα, καὶ θεῖα λείψανα, ἐφανέρωσας Βλάσιε, ἅπερ εὐωδίαν, θείαν ἀποπνέοντα, πιστοὶ ἐκόμισαν, ὅθεν, σου τὴν μνήμην τελοῦντες, ὡς Ἱερομάρτυρα θεῖον, τοῦ Χριστοῦ τιμῶμέν σε μακάριε.

Πάλαι, τῶν βαρβάρων τὴν ὁρμήν, ἤνεγκας ἀνδρείᾳ καρδίᾳ, ἐπιδραμόντων δεινῶς, Βλάσιε μακάριε, κατὰ τῆς ποίμνης σου, καὶ χερσὶ τούτων τέθυσαι, σὺν τοῖς φοιτηταῖς σου, καὶ Χριστῷ προσήχθητε, ὡς θεῖα θύματα, ὅθεν, ἡ Χριστοῦ Ἐκκλησία, γνοῦσα τοὺς λαμπρούς σου ἀγῶνας, ὡς Ἱερομάρτυρα γεραίρει σε.

Ἄγνωστος ἐτέλεις τοῖς πιστοῖς, τὰ τῆς πολιτείας σου Πάτερ, καὶ τῆς ἀθλήσεως, λήθης βυθῷ κείμενα, παρόδῳ χρόνων πολλῶν, ἀλλὰ νεύσει τῇ κρείττονι, ἡμῖν ἐπεφάνης, ὡς ἀστὴρ πολύφωτος, ἐκ τῶν ἀδύτων τῆς γῆς, νέμων, εὐφροσύνην τὴν θείαν, τοῖς εἰλικρινῶς σε τιμῶσιν, Βλάσιε Ἀγγέλων ἰσοστάσιε.

Χαίρει, τὴν χαρὰν τὴν ἀληθῆ, τὸ χωρίον Σκλάβαινα Πάτερ, ἐν τῇ ἀθλήσει σου, καὶ ναόν σοι ἅγιον, πιστῶς ἐδείματο, ἔνθα πιστοὶ συντρέχοντες, ἔλεος καὶ χάριν, πάντοτε καρπούμενοι, ἐκ τῶν λειψάνων σου, ἄγομεν προθύμῳ καρδίᾳ, Βλάσιε τὴν θείαν σου μνήμην, καὶ Χριστῷ σε πρέσβυν προβαλλόμεθα.

*Δόξα. Ἦχος δ΄.*

Τὴν ἐν ἀσκήσει ἑλόμενος ζωήν, ἐν ἀληθεῖ ὁσιότητι, διέπρεψας Πάτερ. Καὶ ἱερωσύνης τῷ μύρῳ σφραγισθείς, τοῖς οἰκείοις αἵμασιν, τὴν ἱεράν σου στολὴν ἐφοίνιξας, ἀθλητικῶς τελέσας τὸν δρόμον, Βλάσιε μακάριε. Διὸ τὴν ἄθλησίν σου γεραίροντες, βοῶμέν σοι· Μὴ διαλίπῃς πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει τιμώντων σε, Ἱερομάρτυς ἀξιάγαστε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε Εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἤνεγκας καρτερῶς, βαρβαρικὴν μανίαν, ἀπεριτρέπτῳ γνώμῃ, Βλάσιε θεοφόρε, καὶ ἤθλησας στεῤῥότατα.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Βίον σου τὸν σεπτόν, ἀθλητικοῖς ἀγῶσιν, ἐσφράγισας καὶ στέφος, διπλοῦν παρὰ Κυρίου, ἐδέξω Πάτερ Βλάσιε.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ὅλος φωτοειδής, ὡράθης τῷ γυναίῳ, ἀθανασίας αἴγλης, Βλάσιε καταυγάζων, τοὺς εὐλαβῶς τιμῶντάς σε.

*Δόξα. Τριαδικόν.*

Σθένος θεαρχικόν, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὁμότιμε Θεότης, λαβῶν ἐκ Σοῦ ἀΰλως, ὁ Βλάσιος ἠρίστευσε.

*Καὶ νῦν. Θεοτοκίον.*

Μῆτερ τοῦ Λυτρωτοῦ, Χριστοῦ τοῦ Ζωοδότου, Παντάνασσα Μαρία, ζώωσον τὴν ψυχήν μου, νενεκρωμένην πάθεσι.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Νέος ἥλιος, ἡμῖν ἐφάνης, εἰ καὶ ἤθλησας, τοῖς πάλαι χρόνοις, τῇ φανερώσει τῶν θείων λειψάνων σου, Ἱερομάρτυς Πατὴρ ἡμῶν Βλάσιε, καὶ καταυγάζεις ἡμᾶς θείαις χάρισιν, ὅθεν πρέσβευε, Κυρίῳ τῷ σὲ δοξάσαντι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Χωρίον τὰ Σκλάβαινα τῇ ἀνευρέσει σοφέ, τῶν θείων λειψάνων σου σὲ πολιοῦχον θερμόν, ἐκτήσατο Βλάσιε, σὺ γὰρ ὄψεσι θείαις, ἐφανέρωσας πᾶσιν, οἵου ἔτυχες τέλους, δι’ ἀγάπην Κυρίου, διὸ Ἱερομάρτυς, ἐν ὕμνοις τιμῶμέν σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τοῦ Σωτῆρος τοῖς ἴχνεσι, δι' ἀγώνων ἀσκήσεως, ὁλικῷ φρονήματι ἠκολούθησας, καὶ μαρτυρίου τοῖς στίγμασι, σαὐτὸν καθωράϊσας, τῶν βαρβάρων τὴν ὁρμήν, ὑπομείνας ὡς ἄσαρκος, Πάτερ Βλάσιε, διὰ τοῦτο ὡς μύστης τῶν ἀῤῥήτων, καὶ ἰσότιμον Μαρτύρων, χρεωστικῶς εὐφημοῦμέν σε.

Εἰ καὶ πάλαι ἐνήθλησας, ἀλλ' ἡμῖν τὰ τοῦ βίου σου, καὶ τὰ τῆς ἀθλήσεως θεῖα τρόπαια, ἐτέλουν ἄγνωστα Βλάσιε, ἀρτίως δὲ Ἅγιε, ἐκκαλύψας τοῖς πιστοῖς, τὴν σορὸν τῶν λειψάνων σου, ἐν τῷ τάφῳ σου, ὡς ἀστὴρ ἑωσφόρος ἐπεγνώσθης, καὶ θαυμάτων ταῖς ἀκτῖσι, φωταγωγεῖς τὰς ψυχὰς ἡμῶν.

Ὥσπερ θῆρες ἀτίθασοι, ἐπελθόντες οἱ βάρβαροι, ἀνυποίστοις πόνοις σε καθυπέβαλον, καὶ ἥλοις Πάτερ τὰ στέρνα σου, σιδηροῖς ἡλώσαντες, ὡς οὐκ ᾤοντο Χριστῷ, θῦμα θεῖον καὶ ἄμωμον, ἀπετέλουν σε, ᾧ προσήχθης τελέσας τὸν ἀγῶνα, καὶ πρεσβεύεις ὑπὲρ πάντων, τῶν εὐφημούντων σε Βλάσιε.

Ὥσπερ ἥλιος πάμφωτος, ἐπαλλήλως τεθέασαι, εὐδοκίᾳ κρείττονι, τῷ θεόφρονι γυναίῳ, Ὅσιε Βλάσιε, ὑμνοῦντι τὴν χάριν σου, καὶ ἐγνώρισας αὐτῷ, τῶν πρακτέων τὴν ἔκβασιν, θείῳ Πνεύματι, ἃ δι' ἔργων πληρούμενα ὁρῶντες, τὴν θερμήν σου προστασίαν, ἐπιβοώμεθα πάντοτε.

Ὡς θερμὸν ἀντιλήπτορα, καὶ μεσίτην πρὸς Κύριον, τὸ χωρίον Σκλάβαινα μακαρίζει σε, καὶ τῇ σορῷ τῶν λειψάνων σου, προσπίπτον γεραίρει σου, τὴν

ἁγίαν ἑορτήν, ὃ ἀπαύστως διάσωζε, πάσης θλίψεως, τῇ θερμῇ σου πρεσβείᾳ πρὸς τὸν Κτίστην, Βλάσιε Ἱερομάρτυς, Ἀκαρνανίας ἀγλάϊσμα.

Ὡς βλαστὸν εὐθαλέστατον, τῆς ὁσίας ἀσκήσεως, τοὺς καρποὺς ἀνθήσαντα τῆς ἀθλήσεως, ἀνευφημοῦμέν σε Βλάσιε, ὡς θεῖον θεράποντα, καὶ Ὁσίων κοινωνόν, καὶ Μαρτύρων ἰσότιμον, ἐκβοῶντές σοι· Μὴ ἐλλείπῃς λυτροῦσθαι πάσης βλάβης, τοὺς προστρέχοντας ἐν πίστει, τῷ σῷ ναῷ ἱερώτατε.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ὡς ἀστὴρ νεοφανής, τῇ Ἐκκλησίᾳ ἀνέτειλεν, ὁ Ἱερομάρτυς Βλάσιος, τῶν θαυμάτων ταῖς ἀκτῖσι, καταυγάζων ἡμᾶς, ἐν ἀδήλοις γὰρ χρόνοις ἀθλήσας, ἄδηλος ἦν τῇ Ἐκκλησίᾳ, ὁ παρὰ Θεοῦ δοξασθείς. Καὶ πλείστοις τεκμηρίοις, τὴν χάριν αὐτοῦ ἐκφαίνων, τῇ τῶν τιμίων αὐτοῦ λειψάνων εὑρέσει, ἐπιστώσατο ἡμᾶς, ἣν κέκτηται δόξαν τὴν ὀσμὴν γὰρ τῆς ζωῆς, δι’ αὐτῶν ἡμῖν παρέχει, ὡς εὐωδία Χριστοῦ, κατὰ Παῦλον γεγονώς. Αὐτῷ βοήσωμεν· Ἱερομάρτυς ἀξιάγαστε, δόξα ἡμῶν καὶ καύχημα, ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ

πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.*

Εὐφραίνονται ἐνθέως, τῶν εὐσεβῶν αἱ χορεῖαι, καὶ ἐξαιρέτως τὸ χωρίον Σκλάβαινα, τῇ εὑρέσει τῶν λειψάνων σου, Ἱερομάρτυς Βλάσιε, ὡς θησαυρὸν γὰρ πολύτιμον, ταῦτα ἡμῖν δέδωκας, καὶ δι' αὐτῶν παρέχεις ταχεῖαν βοήθειαν, τοῖς προσιοῦσι τῷ ναῷ σου, νομίμως γὰρ ἀθλήσας, τὴν ἀνομίαν ᾔσχυνας, καὶ

τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις συναφθείς, ἁγιασμὸν παρέχεις ἡμῖν, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος β΄.*

Τῶν ἀρετῶν βαδίζων τὴν τρίβον, τὴν τῶν βαρβάρων οὐκ ἔκπτηξας ὁρμήν, στεῤῥοτάτῳ φρονήματι, ἀξιάγαστε Βλάσιε. Τῇ γὰρ θείᾳ στοιχειωθεὶς ἀγάπῃ, πάντων κατίσχυσας, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, καὶ τοῖς ἑπομένοις τῷ λόγῳ σου, ἐβόας εὐθαρσῶς· Μὴ φοβηθῶμεν ὦ τέκνα, θάνατον πρόσκαιρον, ζωῆς ἀλήκτου πρόξενον, ἀκράτως γὰρ ὁ Κύριος, ἐκδέχεται ἡμᾶς, ἵνα εἰσαγάγῃ εἰς Βασιλείαν τὴν αἰώνιον, ἧς καὶ ἡμεῖς ἀξιωθείημεν, Ἱερομάρτυς ταῖς πρεσβείαις σου.

*Ἦχος γ΄.*

Ἐνδεδυμένος τὸν Χριστόν, τῇ τῶν παθῶν νεκρώσει, τῆς ἀπαθείας τὰ ἄνθη ἐβλάστησας Βλάσιε. Καὶ τὸν θώρακα τῆς πίστεως, περιβαλλόμενος στεῤῥῶς, τῶν ἀοράτων ἐχθρῶν τὰ βέλη ἀπήμβλυνας. Καὶ χερσὶ βαρβαρικαῖς, χαλεπῶς αἰκιζόμενος, ὅλον τὸν νοῦν Χριστῷ ἀνέτεινας, μηδόλως φροντίζων, φθειρομένης σαρκός, ἀλλ᾽ ὡς τῶν ἀφθάρτων ἀγαθῶν κληρονόμος, πάσης φθορᾶς ἀπάλλαξον, τοὺς ἑορτάζοντας τὴν μνήμην σου.

*Ἦχος δ΄.*

Τὴν σὴν ἁγίαν στολήν, λαμπροτέραν ἔδειξας, τῇ ἐκχύσει τοῦ αἵματος, Βλάσιε Πατὴρ ἡμῶν, ὡς καὶ θεῖος ἱερεύς, καὶ ἀρετῶν μυσταγωγός, τῆς ἄνω δόξης ἠξιώσαι, τὰς ὑπὲρ ἡμῶν δεήσεις ἀναφέρων Κυρίῳ. Καὶ τὴν δοθεῖσάν σοι χάριν ὑποδηλῶν, μυστικαῖς θεωρίαις καὶ θαυμάτων δυνάμεσι, καταπλήττει ἡμᾶς, αἰτούμενος πᾶσιν εἰρήνην, καὶ πταισμάτων ἄφεσιν.

*Δόξα. Ὁ αὐτός.*

Τὸν ἐν Ὁσίοις Μάρτυρα, καὶ ἐν ἱερεῦσιν Ἀθλητήν, ὡς νεοφανῆ τῆς Ἐκκλησίας ἀστέρα, Βλάσιον τὸν θεῖον, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν, ἀγγελικὴν γὰρ ἅμιλλαν μιμούμενος, θεολήπτῳ ψυχῇ, ἀθλητικοῖς πόνοις ὡμίλησε, βαρβαρικῆς μανίας ὑποστὰς τὴν ἔφοδον, ἀκαταπλήκτῳ γνώμῃ. Καὶ δι' ἀμφοτέρων Χριστὸν δοξάσας, τῆς οὐρανίου δόξης ἠξίωται, ἀπαύστως δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε Θεοτόκε Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ἡ πᾶσιν ἱλασμὸν αἰτουμένη, καὶ πταισμάτων ἄφεσιν, χαῖρε προστασία ἡμῶν, καὶ σκέπη καὶ ἀντίληψις Ἄχραντε.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίρων, ἠκολούθησας Χριστῷ, δι' ἐναρέτου πολιτείας σου Ὅσιε, καὶ πᾶσαν ἀποκαθάρας, δι' ἐγκρατείας πολλῆς, τῆς ψυχῆς σου Πάτερ τὴν κατάστασιν, ποιμὴν ὤφθης ἔνθεος, μοναζόντων συστήματος, καὶ θείας Μάνδρας, κυβερνήτης θεόσοφος, θείαις πράξεσιν, ἀρετῶν καλλυνόμενος, ὅθεν βίαιον θάνατον, ὑπέστης ὡς ἄσαρκος, ὑπὸ χειρῶν παρανόμων, ἀποκτανθεὶς θεῖε Βλάσιε, καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Ὤφθης, τῇ εὐδοκίᾳ Θεοῦ, ἐν ἐπαλλήλοις ἀληθῶς θείαις ὄψεσι, καθ' ὕπαρ καὶ ἐν ὀνείροις, ὑπὲρ ἡλίου αὐγάς, ἀπαστράπτων Πάτερ θείῳ Πνεύματι, διὸ

ὡς νεόφωτον, εὐφημοῦμεν φωστῆρά σε, καὶ τὴν ἁγίαν, ἑορτάζομεν μνήμην σου, τὴν σορὸν προσπτυσσόμενοι, Βλάσιε ἱερώτατε, Σκλαβαίνων τὸ καύχημα, καὶ πολιοῦχος καὶ σκέπη, καὶ πρὸς Χριστὸν πρέσβυς μέγιστος, ἀπαύστως πρεσβεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, Ἱερομάρτυς Χριστοῦ, ὁ τῶν Ἀγγέλων κοινωνὸς καὶ συνόμιλος, Ὁσίων ὁ συμπολίτης, ὡς ἐν ἀσκήσει λαμπρᾷ, ἀρετῶν ἐμπρέψας βίῳ κρείττονι, Μαρτύρων συμμέτοχος, ὡς αὐτῶν ἰσοστάσιος, ἐν τῇ ἀθλήσει, καὶ ἐκχύσει τοῦ αἵματος, ἣν ὑπέμεινας, διὰ πόθον τὸν ἔνθεον, Βλάσιε παμμακάριστε, Χριστοῦ φίλε γνήσιε, ὁ ἀφ’ ἡμῶν ἀπελαύνων, πᾶσαν ἐχθροῦ τὴν ἐπήρειαν, καὶ πᾶσι πρεσβεύων, ἱλασμὸν καὶ σωτηρίαν, καὶ θεῖον ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀσκητικοῖς καμάτοις, δουλεύων τῷ Χριστῷ, τύπον σεαυτὸν παρέσχες, ἐναρέτου ζωῆς, τοῖς ὑπὸ σοῦ Πάτερ Βλάσιε. Καὶ μαρτυρικῇ ἐνστάσει, βαρβαρικὴν ἰταμότητα ἐφαύλισας, προθύμως θανών, ὑπὲρ τοῦ Σωτῆρος ἡμῶν, καὶ ἐν πᾶσι δόκιμος φανείς, τῆς ζωῆς ἀποκατέστης τῷ ξύλῳ, θείᾳ μεθέξει θεούμενος, καὶ ἡμῖν αἰτούμενος, τῶν κακῶν ἀπαλλαγήν, καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Νέος ἥλιος, ἡμῖν ἐφάνης, εἰ καὶ ἤθλησας, τοῖς πάλαι χρόνοις, τῇ φανερώσει τῶν θείων λειψάνων σου, Ἱερομάρτυς Πατὴρ ἡμῶν Βλάσιε, καὶ καταυγάζεις ἡμᾶς θείαις χάρισιν, ὅθεν πρέσβευε, Κυρίῳ τῷ σὲ δοξάσαντι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Χωρίον τὰ Σκλάβαινα τῇ ἀνευρέσει σοφέ, τῶν θείων λειψάνων σου σὲ πολιοῦχον θερμόν, ἐκτήσατο Βλάσιε, σὺ γὰρ ὄψεσι θείαις, ἐφανέρωσας πᾶσιν, οἵου ἔτυχες τέλους, δι’ ἀγάπην Κυρίου, διὸ Ἱερομάρτυς, ἐν ὕμνοις τιμῶμέν σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς κλῆμα νοητόν, ἀρετῶν γεωργίᾳ, ἐξήνεγκας σοφέ, ἀφθαρσίας τὸν βότρυν, καὶ οἶνον κατανύξεως, τῇ ἀθλήσει σου ἔβλυσας, Πάτερ Βλάσιε, τοῖς τὴν σὴν μνήμην τελοῦσι, καὶ τιμῶσί σε, οἷα θεράποντα θεῖον, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

*Δόξα. Καὶ νῦν.*

Θεὸν ὑπερφυῶς, σωματώσασα Κόρη, ἐθέωσας ἡμῶν, τὴν φθαρεῖσαν οὐσίαν, διὸ τὸν ἀνερμήνευτον, μεγαλύνομεν τόκον Σου, ὅτι ἔτεκες, τὸν Βασιλέα τῆς δόξης, τὸν ῥυσάμενον, ἐκ τῆς δουλείας τοῦ ᾅδου, Ἀδὰμ τὸν πρωτόπλαστον.

*Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς ἥλιος πάμφωτος τῇ εὐσεβεῖ γυναικί, ἐφάνης τὴν δόξαν σου ὑποδηλῶν τοῖς πιστοῖς, ἡμῖν οὖσαν ἄγνωστον, σὺ γὰρ τοῖς πάλαι χρόνοις, θεοφρόνως ἀθλήσας, ἄρτι ἐφανερώθης, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ὑμνούσῃ τοὺς ἀγῶνάς σου, Πατὴρ ἡμῶν Βλάσιε.

*Δόξα. Καὶ νῦν.*

Τὸ πῦρ τῆς Θεότητος ἀκαταφλέκτως τῇ Σῇ, νηδύϊ ἐβάστασας καὶ τὸν Σωτῆρα Χριστόν, ἀφράστως ἐκύησας, Σὲ γὰρ πάλαι ἐτύπου, ἐν Σιναίῳ τῷ ὄρει, βάτος ἡ πυριφόρος, Θεοτόκε Παρθένε, διὸ τὰς τῶν παθῶν μου, ἀκάνθας κατάφλεξον.

*Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῶν βαρβάρων τὴν ἔφοδον ὑποστάς, καὶ Μαρτύρων τὴν ἔνστασιν προβαλών, πέντε ἥλους δέδεξαι, ἐν τοῖς στέρνοις σου Ἅγιε, ὡς μιμητὴς τοῦ πάθους, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, πρὸς Ὃν πεφοινιγμένος, τοῖς αἵμασιν ἔδραμες, ὅθεν ἀφθαρσίας, δεδεγμένος τὸ γέρας, καὶ πόνων τὰ ἔπαθλα, ἐπαξίως δρεπόμενος, ἱερώτατε Βλάσιε, πρέσβευε ἀπαύστως Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν.*

Τὸν Δεσπότην τῶν ὅλων καὶ Ποιητήν, δεξαμένη ἀφράστως ἐν τῇ γαστρί, διπλοῦν τοῦτον τέτοκας, Θεὸν ἅμα καὶ ἄνθρωπον, μιᾷ ἐν ὑποστάσει, δι' ἄφατον ἔλεος, λυτρούμενον τὸν κόσμον, ἀρᾶς τοῦ Προπάτορος, ὅθεν Θεοτόκε, Παναγία Παρθένε, παθῶν τῆς φαυλότητος, τὴν καρδίαν μου κάθαρον, ἵνα πόθῳ κραυγάζω Σοι· χαῖρε σωτηρία βροτῶν, καὶ πενθούντων θεῖον παραμύθιον· χαῖρε σκέπη τοῦ κόσμου, καὶ μέγα διάσωσμα.

Τὸ α' ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς Αὐτοῦ θελήσει σφόδρα.*

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον· *Εἶπεν ὁ Κύριος· Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε...* Ζήτει τῇ Λ΄ Σεπτεμβρίου, Ἁγ. Γρηγορίου Μ. Ἀρμενίας.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Τὴν ἐν ἀσκήσει ζωήν σου, τοῖς ἀθλητικοῖς ἐφαίδρυνας πόνοις, ὑπὲρ Χριστοῦ θανὼν προθύμως, Ἱερομάρτυς Βλάσιε. Οὐδόλως γὰρ ἐπτόησαι, πειρατικῆς μανίας ἐπιδρομήν, ὡς ἀνακείμενος Χριστῷ, καὶ τῆς ἀϊδίου ζωῆς μετασχών, θανάτου ἁμαρτίας λύτρωσαι, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, τοὺς τελοῦντας τὴν μνήμην σου.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Τῷ Ἱερομάρτυρι Βλασίῳ ὕμνος. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Ταῖς χοροστασίαις συνοικῶν, τῶν οὐρανίων δυνάμεων Βλάσιε, σὺν αὐταῖς ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν μνήμην σου, φωτισμὸν δοθῆναι, ἡμῖν καὶ βίου διόρθωσιν.

Ὤφθης ἀνακείμενος Χριστῷ, τῇ καθαρᾷ πολιτείᾳ σου Βλάσιε, καὶ ὡς θῦμα ἄμωμον, Αὐτῷ προσήχθης τυθεὶς ὥσπερ πρόβατον, χερσὶ μιαιφόνοις, πειρατικῆς ἐπιθέσεως.

Ἴθυνας τὸν νοῦν σου ἀκλινῶς, πρὸς ἐφετῶν τὸ ἀκρότατον Βλάσιον, καὶ ποιμὴν θεόληπτος, τῶν Μοναστῶν ἀληθῶς ἐχρημάτισας, τούτους κατευθύνων, πρὸς ἀρετῶν τελειότητα.

*Θεοτοκίον.*

Ἔλαμψεν ἐκ Σοῦ μετὰ σαρκός, δικαιοσύνης ὁ Ἥλιος Ἄχραντε, καὶ τὸν κόσμον ἅπαντα, θεογνωσίας φωτὶ κατελάμπρυνε, καὶ τῆς ἀδικίας Θεογεννῆτορ, καθεῖλε τὸν ἄρχοντα.

*ᾨδὴ γ΄ Ὁ μόνος εἰδώς.*

Ῥεόντων τὴν σχέσιν παριδών, ἀσκητικῶς ἐβίωσας, Μονῇ τῇ θείᾳ τῆς Θεομήτορος, ἐν ᾗ τὸν δρόμον τῆς ἀθλήσεως, Βλάσιε διήνυσας, καὶ μονὰς κατέλαβες, οὐρανῶν ὡς Μαρτύρων ὁμότροπος.

Ὁρμήσαντες πάλαι πειραταί, κατὰ τῆς θείας Μάνδρας σου, οἷάπερ λύκοι Βλάσιε ἄγριοι, τὸ σὸν σαρκίον δεινῶς ἐσπάραξαν, καὶ Χριστοῦ σε Μάρτυρα, νικηφόρον ἔδειξαν, καρτερίᾳ ψυχῆς κλεϊζόμενον.

Μεγάλων ἠξίωσαι τιμῶν, παρὰ τοῦ Παντοκράτορος, Μεγαλομάρτυς Ἅγιε Βλάσιε, μεγίστων πόνων ἀνύσας στάδιον, ὡς τοῦτο ὑπέφηνας, οἷς ὡράθης Ὅσιε, ἐνεργείᾳ τῇ θείᾳ τοῦ Πνεύματος.

*Θεοτοκίον.*

Ἁγνείας κειμήλιον σεπτόν, Ὑπεραγία Δέσποινα, ἡ ἀποῤῥήτως Θεὸν κυήσασα, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον, καὶ μετὰ τὴν κύησιν, ἁγνὴ διαμείνασα, ἐναγῶν ἐννοιῶν με ἀπάλλαξον.

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τῶν Ὁσίων τὸν βίον ἀνύων Ὅσιε, τῶν Μαρτύρων ὑπῆλθες τὴν θείαν ἄθλησιν, ὑποστὰς βαρβαρικὴν Βλάσιε ἔφοδον, καὶ ἐδέξω ἐκ Θεοῦ, διπλοῦν

στέφος ἀληθῶς, ὡς θεῖος Ἱερομάρτυς, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν κατὰ χρέος εὐφημούντων σε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε Παρθένε Μῆτερ ἀπείρανδρε, ἡ Θεὸν ὑπὲρ λόγον κυοφορήσασα, καὶ τὴν πτῶσιν τοῦ Ἀδὰμ ἐπανορθώσασα, ἐπανόρθωσον κἀμέ, ἐκ βυθοῦ ἁμαρτιῶν, καὶ ῥῦσαί με τῆς κακίας, τοῦ ἀρχεκάκου βελίαρ, τὸν καταφεύγοντα τῇ σκέπῃ Σου.

*ᾨδὴ δ΄. Ὄρος σε τῇ χάριτι.*

Ῥείθροις τῶν αἱμάτων σου, κατήρδευσας Βλάσιε, ταύτην τὴν χθόνα δαψιλῶς, καὶ καταθέσει τῶν σεπτῶν, λειψάνων ἡγίασας, ἅπερ εὑρόντες σεπτῇ ὑποδείξει σου, ὑμνολογοῦμεν τὸν σὲ θαυμαστώσαντα.

Τέλος τὸ μακάριον, χερσὶν ἀναιρούμενος, ἰταμωτάτων πειρατῶν, Βλάσιε εὗρες ἀληθῶς, καὶ δόξης τῆς κρείττονος, ὡς Ἀθλητὴς τοῦ Σωτῆρος ἀήττητος, καὶ ἱερεὺς θεοφόρος μετέσχηκας.

Ὕμνησαν τὴν χάριν σου, καὶ δόξαν ἣν ἔσχηκας, οἱ ἐν Σκλαβαίνοις εὐσεβεῖς, Βλάσιε Μάρτυς τοῦ Χριστοῦ, ἡνίκα τὸν τάφον σου, καὶ ἐν αὐτῷ τὰ σὰ λείψανα εὕροσαν, τὴν εὐωδίαν τοῦ Πνεύματος πνέοντα

*Θεοτοκίον.*

Ῥάβδος ἁγιόβλαστος, ἐδείχθης Πανάμωμε, καθάπερ ἄνθος μυστικῶς, ἀγεωργήτως τὸν Χριστόν, βλαστήσασα Δέσποινα, ὡς Ἡσαΐας ὁ θεῖος προέβλεψεν, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

*ᾨδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Ἰδοῦσά σε ἐπαλλήλως γυνὴ ἡ φιλόθεος, λάμποντα ὑπὲρ ἡλίου ἀκτῖνας ἐξίστατο, καὶ τὴν σὴν λαμπρότητα, καὶ δόξαν ἀγήρω, τοῖς ἀγνοοῦσιν ἐκήρυττε.

Βασιλείας οὐρανίου κατηξίωσαι Βλάσιε, μετὰ τῶν συμμοναστῶν σου, μεθ' ὧν χαίρων ἠγώνισαι, καὶ τῶν αἰωνίων ἀγαθῶν, τὸν θησαυρὸν ὁρῶντες, ὑπὲρ ἡμῶν ἱκετεύετε.

Λαμπρυνόμενος τῷ φέγγει τῷ ἀΰλῳ τοῦ Πνεύματος, ὥσπερ ἥλιος ὡρᾶσο γυναικὶ τῇ θεόφρονι, ἥτις διηκόνει σοι πιστῶς, ᾗπερ καὶ συνωμίλεις, μετ' οἰκειότητος Βλάσιε.

*Θεοτοκίον.*

Ἀπειράνδρως συλλαβοῦσα καὶ τεκοῦσα τὸν Κύριον, τὸν ποιήσαντα τὰ πάντα ἐκ μὴ ὄντος Πανάμωμε, τῆς κυριαρχίας τῶν παθῶν, ἀπάλλαξον τὸν νοῦν μου, θείῳ φωτί με λαμπρύνουσα.

*ᾨδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.*

Σαρκός σου μὴ φεισάμενος μακάριε, ὡς τετρωμένος ἔρωτι τῆς ἀγάπης τοῦ Σωτῆρος Ἰησοῦ, ἤνεγκας καθάπερ ἄλλου πάσχοντος, τὰς παρ' ἐχθρῶν, πικρὰς ὀδύνας καὶ τὰ ἀλγήματα.

Ἰσχὺν ἐνδεδυμένος τὴν οὐράνιον, βαρβαρικῇ σκληρότητι, ἀντετάξω τὴν ἀνδρείαν τῆς ψυχῆς, καὶ τῶν σιδηρῶν ἥλων ὑπέμεινας, καρτερικῶς, τὴν ἐν τοῖς στέρνοις Πάτερ προσήλωσιν.

Ὡς πλήρης οὐρανίου ἐπιλάμψεως, ἀγγελικῶς ἱερεύσας, τῷ Σωτῆρι τῶν ἁπάντων καὶ Θεῷ, καὶ καθάπερ θῦμα προσενήνοχας, Πάτερ σεαυτόν, ἀθλητικοῖς ἀγῶσί σου Βλάσιε.

*Θεοτοκίον.*

Ὑμνοῦμέν Σε Παρθένε Ὑπερύμνητε, δι᾽ ἧς ἀπελυτρώθημεν, τῇ κυήσει Σου τῇ θείᾳ καὶ φρικτῇ, τῶν δεσμῶν τοῦ ᾅδου καὶ ὑψώθημεν, Μῆτερ τοῦ Θεοῦ, πρὸς τὴν ἀρχαίαν καὶ πρώτην εὔκλειαν.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ὡς ἀστὴρ νεόφωτος, ἐξανατείλας, καταυγάζεις ἅπαντας, ἀκτῖσι θείων δωρεῶν, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου, Ἱερομάρτυς, Πατὴρ ἡμῶν Βλάσιε.

*Ὁ Οἶκος.*

Ἀδήλοις χρόνοις ἠθληκῶς, ἀνδρειοτάτῃ γνώμῃ, βαρβαρικῆς ἐπιδρομῆς, ἐν τῇ ἁγίᾳ σου Μονῇ, τὴν ἔφοδον ὑπέστης, παρ᾽ ὧν ἐν ἀπηνείᾳ συσχεθείς, καὶ σφοδρῶς καταικισθείς, ἐτέλεσας τὸν δρόμον τῆς ἀθλήσεως, καὶ νικηφόρος ἀνῆλθες πρὸς οὐρανίους σκηνώσεις, τῶν ὑπὲρ λόγον ἐπάθλων ἀξιούμενος, ἔνθεν ἐν περιδρομαῖς ἐνιαυτῶν πολλῶν ἄγνωστος ἦσθα, λήθης βαθεῖα ἀχλὺς καλύψασα τὰ σὰ μακάριε, ἀλλ᾽ εὐδοκίᾳ θείᾳ χθιζά τε καὶ πρωϊζά, ἐπιφανεὶς οἷς ἠθέλησας τρόποις, ἐγνώρισας ἡμῖν τὴν σὴν ἁγίαν ἄθλησιν, καὶ τὸν ἐν Σκλαβαίνοις τῷ χωρίῳ τάφον σου, ἐξ οὗ τὰ ἱερά σου ἐκκομίσαντες λείψανα, ὀσμῆς ζωῆς ἐπλήσθημεν, καὶ χάριν πολλὴν εὕρομεν, ἐκτελοῦντες τὴν μνήμην σου, Ἱερομάρτυς, Πατὴρ ἡμῶν Βλάσιε.

*Συναξάριον.*

Τῇ ια' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου τοῦ Ἀκαρνᾶνος, τοῦ ἐν Σκλαβαίνοις τῆς Ἀκαρνανίας, ἀσκήσαντος καὶ ἀθλήσαντος ἐν ἔτει 1005, τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ, καὶ τῶν σὺν αὐτῷ δύο Ἱερομονάχων καὶ τριῶν Μοναχῶν.

*Βαρβάρων χερσίν, ὦ Βλάσιε ἐκτάνθης,*

*Καὶ χεῖρες Θεοῦ, ἐτίμησάν σε Πάτερ.*

*Ὀστέα γῆθεν Βλασίοιο φαάνθησαν ἄρτι ξένως.*

Τὰ κατὰ τὸν μακάριον τοῦτο Ἱερομάρτυρα ἦσαν ἡμῖν τέως ἄγνωστα καὶ ἀφανῆ, ἀλλὰ θείᾳ νεύσει ἐπιφανεὶς οὗτος, ἐν ἔτει 1923ῳ, γεροντίσσῃ τινὶ ἐκ τῶν σφόδρα εὐλαβῶν, ἧς ἡ κλῆσις Εὐφροσύνη, τοὐπίκλην Κατσαρᾶ, ζώσῃ ἐν τῷ χωρίῳ Σκλάβαινα τῆς Ἀκαρνανίας, ἐφανέρωσεν αὐτῇ τὰ τοῦ βίου αὐτοῦ, ὑποδείξας ποὺ ἔκειτο ὁ τάφος, ὃν ἀνορύξαντες, εὗρον τὰ τίμια αὐτοῦ λείψανα, πλήρη οὐρανίου εὐωδίας καὶ χάριτος.

Ταύτῃ τῇ μακαρίᾳ γυναικὶ Εὐφροσύνῃ, χήρᾳ οὔσῃ, καὶ λατρευούσῃ τῷ Θεῷ νηστείαις καὶ δεήσεσι νύκτα καὶ ἡμέραν, ὡράθη ἐπαλλήλοις θεωρίαις καὶ ὄψεσι, καὶ ὕπαρ καὶ ἐν ὀνείροις, καὶ πλειστάκις ὀφθαλμοφανῶς πρόσωπον πρὸς πρόσωπον, λάμπων ὑπὲρ τὸν ἥλιον, ᾗ καὶ οἰκείως ὡμίλει καὶ ἐλάλη, ἀποκαλύπτων αὐτῇ τὰ πρακτέα, ἔσθ' ὅτε συμπορευόμενος αὐτῇ καὶ συμβαδίζων ἐν τῇ ὁδῷ, ὡς διεξοδικῶς ἐν ἰδιαιτέρᾳ δέλτῳ περὶ αὐτῶν ἱστορεῖται.

Ἐν ἔτει δὲ 1978ῳ, ὡράθη εὐλαβεῖ τινι Γέροντι, μοναχῷ καὶ πρεσβυτέρῳ, οὗ ἡ κλῆσις Ἀρσένιος, δεομένῳ περὶ τούτου, ᾧ καὶ εἶπεν, ὅτι τυγχάνει Ἀκαρνάν. Διετέλεσεν ἡγούμενος εἰς τὸ ἐκεῖσε Μοναστήριον τῶν Εἰσοδίων τῆς Θεοτόκου, ᾧ ἐπιδραμόντες βάρβαροι Ἀγαρηνοὶ Αἰγύπτιοι πειραταί, σκληρῶς βασανίσαντες ἀπέκτειναν αὐτόν, μετὰ δύο Ἱερομονάχων καὶ τριῶν Μοναχῶν, ἐν ἡμέρᾳ Κυριακῇ, τῇ ΙΘ΄ τοῦ μηνὸς Δεκεμβρίου. Ἔτι δέ, ὅτι οἱ εὐσεβεῖς συμφυλέται αὐτοῦ, συνέχεον αὐτὸν μετὰ τοῦ Ἁγίου Βλασίου ἐπισκόπου Σεβαστείας, μεθ' οὗ καὶ ἄγουν τὴν ἑαυτοῦ μνήμην τῇ ΙΑ΄ Φεβρουαρίου.

Ἐν τῷ τάφῳ τοῦ Ἁγίου εὑρέθη πλάξ, ἐν ᾗ ἀναγράφεται τὸ ἔτος 1006. Ἐκ τούτου τεκμαίρεται, ὅτι πάντα ταῦτα ἐγένοντο κατὰ τὸν ΙΑ΄ αἰῶνα. Ἐν τῷ τάφῳ εὑρέθησαν εἷς σιδηροῦς Σταυρός, καὶ πέντε σιδηροὶ ἧλοι, οὓς ἐνέπηξαν οἱ βάρβαροι ἐν τῷ στήθει τοῦ Ἁγίου.

Ὤφθη δὲ ὁ Ἅγιος, ἐνδεδυμένος τὴν ἱερατικὴν στολήν, καθότι ἦν ἱερεὺς καὶ μοναχός, φέρων ἐπὶ τῆς κεφαλῆς κάλυμμα μοναχικόν, μετὰ κουκουλίου, καὶ ἁπλοῦν ἐπιστήθιον Σταυρόν, καὶ ἦν ἐκτεινόμενος εἰς ὕψος τῷ μεγέθει τοῦ σώματος, ἀσκητικός, λιπόσαρκος, στυγνὸς τῇ ὄψει, γλυκὺς τῇ θέᾳ, ἔχων τὸν πώγωνα ὀξύν, καθιέμενον ἄχρι τοῦ στέρνους.

Ἀργότερα, ἐνεφάνη καὶ εἰς τὸν γέροντα Παΐσιο τὸν Ἁγιορείτη.

## Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου, Ἐπισκόπου Σεβαστείας.

*Λαιμὸν Βλάσιος ἐκκοπεὶς διὰ ξίφους,*

*Ἀλγοῦσι λαιμοῖς ῥευμάτων εἴργει βλάβας.*

Οὗτος ἦν κατὰ τοὺς χρόνους Λικινίου τοῦ Βασιλέως Ἐπίσκοπος Σεβαστείας, οἰκῶν ἔν τινι τῶν κατ' ὄρος σπηλαίων· ἐν ᾧ τὰ ἄγρια τῶν ζώων ἐξημερούμενα διὰ τῆς εὐλογίας τοῦ Ἁγίου, χειροήθη ἐφαίνοντο. Ὢν δὲ καὶ τῆς ἰατρικῆς ἐπιστήμης ἔμπειρος, πολλὰς ἰάσεις ἐπετέλει, τὴν τῶν θαυμάτων ἐνέργειαν παρὰ Κυρίου λαβών. Οὗτος κατασχεθείς, ἤχθη πρὸς τὸν ἡγεμόνα Ἀγρικόλαον, καὶ ὁμολογήσας τὸ ὄνομα τοῦ Χριστοῦ, τύπτεται ῥάβδοις, καὶ ἀναρτηθεὶς ξέεται. Εἶτα, ἀπαγομένῳ ἐν τῇ φυλακῇ, ἠκολούθησαν αὐτῷ γυναῖκες ἑπτά, αἳ καὶ τάς κεφαλὰς ἀπετμήθησαν, Θεὸν τὸν Χριστὸν εἶναι ὁμολογήσασαι. Ὁ δὲ Ἅγιος Βλάσιος, τῷ βυθῷ τῆς λίμνης βληθείς, ξίφει τὴν κεφαλὴν ἀπετμήθη μετὰ τῶν δύο βρεφῶν, τῶν ὄντων ἐν τῇ φυλακῇ.

Λέγεται δέ, ὅτι οὗτος ἦν ὁ τῇ τοῦ Μεγαλομάρτυρος Εὐστρατίου διατάξει ἐπιτροπεύσας, κατὰ τὸν καιρὸν τῆς αὐτοῦ μαρτυρίας, καθάπου καὶ ἐν παλαιῷ ὑφάσματι εὕρηται εἰκονισμένος ὁ Ἅγιος Βλάσιος, ἱστάμενος μέσον τῶν Ἁγίων πέντε Μαρτύρων, ἔγγιστα τοῦ

Ἁγίου Εὐστρατίου, καὶ δεχόμενος ἐκ χειρὸς τούτου τὸν τόμον τῆς διατάξεως. Τελεῖται δὲ ἡ αὐτοῦ Σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ Μαρτυρίῳ, τῷ ὄντι πλησίον τοῦ Ἁγίου Ἀποστόλου Φιλίππου, ἐν τοῖς Μιλτιάδου.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Δύο Παῖδες, οἱ συναθλήσαντες τῷ Ἁγίῳ Βλασίῳ· μετὰ τῶν Ἑπτὰ Γυναικῶν, ξίφει τελειοῦνται.

*Βαβαὶ τοσαύτης παιδίων εὐθαρσίας!*

*Σπεύδουσιν ἄμφω, ποῖον ἐκτμηθῇ φθάσαν.*

*Κτείνει γυναῖκας ἑπτὰ σεπτὰς τὸ ξίφος,*

*Οὐ τῇ γυναικῶν συσχεθείσας δειλίᾳ.*

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς εὑρέσεως τοῦ λειψάνου τοῦ Ἁγίου Ζαχαρίου τοῦ Προφήτου, τοῦ πατρὸς τοῦ Τιμίου Προδρόμου.

*Φανεὶς ὁ νεκρὸς γῆθεν ὁ Ζαχαρίας,*

*Τοῖς ζῶσι πιστοῖς ἄφθονον βλύζει χάριν.*

Τὸ λείψανον τοῦ Προφήτου Ζαχαρίου, εὑρέθη ἐν τοῖς χρόνοις τοῦ νέου Θεοδοσίου, ἐν ἔτει υθ΄ (409), εἰς τὸ χωρίον Καφὰρ τῆς Ἐλευθερουπόλεως τῆς ἐν Παλαιστίνῃ, ὑπό τινος ἀνθρώπου, Καλημέρου ὀνομαζομένου, καὶ ἐφόρει λευκὸν ἔνδυμα, μίτραν χρυσῆν εἰς τὴν κεφαλήν, σανδάλια χρυσᾶ εἰς τοὺς πόδας, καθὼς εὑρίσκετο εἰς τὸ θυσιαστήριον, ὅτε ἐλειτούργει τῷ Θεῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Θεοδώρας τῆς Αὐγούστας, τῆς ποιησάσης τὴν Ὀρθοδοξίαν.

*Θεοδώραν Ἄνασσαν εὐσεβεστάτην,*

*Χριστὸς Βασιλεύς, ἀξιοῖ θείου στέφους.*

Αὕτη ἐγένετο γυνὴ Θεοφίλου τοῦ βασιλέως τοῦ Εἰκονομάχου· οὐκ ἦν δὲ αἱρετική, ὥσπερ ὁ ταύτης ἀνήρ. Ἐκεῖνος μὲν γὰρ τὸν Ἅγιον Μεθόδιον, τὸν Πατριάρχην Κωνσταντινουπόλεως ἐξώρισεν, ἀντ' ἐκείνου δὲ προεβάλετο Ἰωάννην τὸν Λεκανόμαντιν, καὶ τὰς ἁγίας εἰκόνας κατέκαυσεν. Αὕτη δέ, εἰ καὶ φανερῶς οὐκ ἐτόλμα προσκυνεῖν τὰς ἁγίας εἰκόνας, ὅμως εἶχε αὐτὰς κεκρυμμένας εἰς τὸν κοιτῶνα αὐτῆς, καὶ τῇ νυκτὶ ἵστατο προσευχομένη, καὶ παρακαλοῦσα τὸν Θεόν, ἵνα ποιήσῃ ἔλεος μετὰ τῶν Ὀρθοδόξων. Ἐγέννησε δὲ υἱόν, ὀνόματι Μιχαήλ, καὶ ἐδίδαξεν αὐτὸν τὴν ὀρθοδοξίαν. Μετὰ δὲ τὴν τελευτὴν τοῦ ἀνδρός αὐτῆς, εὐθέως ἤγαγε τὸν Ἅγιον Μεθόδιον, καὶ συνήθροισε τὴν ἱερὰν Σύνοδον, καὶ ἀνεθεμάτισε τοὺς Εἰκονομάχους, καὶ τὸν Ἰωάννην κατεβίβασε τοῦ θρόνου, καὶ τὰς ἁγίας εἰκόνας εἰσήγαγεν ἐν τῇ ἐκκλησίᾳ. Εἶτα ἐτελεύτησε, καταλιποῦσα τὴν βασιλείαν τῷ υἱῷ αὐτῆς Μιχαήλ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Νεομάρτυρος Γεωργίου τοῦ Σέρβου.

*Γεώργιος δὲ μὴ τὸ πῦρ δειλιάσας,*
*Ἀπυρπόλητος ἐν πυρὶ διαμένει.*

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησις θαύματος τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τῇ Πάργᾳ τῆς Νικοπόλεως, ἐν ἔτει 1603 μ. Χ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Γαβριὴλ τοῦ βασιλέως τοῦ Ῥώσου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Δημητρίου τοῦ Πριλούκ, τοῦ Ῥώσου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Κασσιανοῦ τοῦ Μποσόϊ, τοῦ Ῥώσου.

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.*

*ᾨδὴ ζ΄. Σὲ τὴν νοητήν.*

Μάρτυς Χριστοῦ, θεῖος ἐχρημάτισας, ὡς ἱερεὺς θεοειδής, τὴν ἁγίαν σου γὰρ στολήν, αἵμασιν ἐφοίνιξας, τοῖς οἰκείοις Ἅγιε, ψάλλων Χριστῷ Πάτερ Βλάσιε· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Νέος ἀστήρ, Ἐκκλησίας πέφηνας, Βλάσιε Πάτερ ἱερέ, εἰ καὶ ἤθλησας πρὸ πολλοῦ, θείαις ἐμφανείαις σου, πάντας πιστωσάμενος, ἣν εὗρες δόξαν οὐράνιον, τὸν αἰνετὸν μεγαλύνων, Θεὸν καὶ ὑπερένδοξον.

Οἱ εὐσεβεῖς, τῶν Σκλαβαίνων κάτοικοι, πανηγυρίζουσι λαμπρῶς, ἐν τῇ μνήμῃ σου τῇ σεπτῇ, Βλάσιε μακάριε, θεῖον γάρ σε κέκτηνται, προστάτην πίστει κραυγάζοντες· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σὲ ὁ Θεός, θαύμασιν ἐδόξασεν, οἷα θεράποντα αὐτοῦ θεραπεύεις γὰρ χαλεπά, πάθη καὶ νοσήματα, καὶ διώκεις πνεύματα, τὰ πονηρὰ ψάλλων Ὅσιε· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Θεοτοκίον.*

Γένος βροτῶν, λέλυται τῷ Τόκῳ Σου, ἐκ τῆς κατάρας τοῦ Ἀδάμ, Σὺ γὰρ τέτοκας ἐν σαρκί, τὸν ἀπερινόητον, πάντας τὸν λυτρούμενον, ἐκ τῆς φθορᾶς τοὺς βοῶντάς Σοι· χαῖρε Παρθένε Μαρία, ἁγνὴ καὶ ὑπερένδοξε.

*ᾨδὴ η΄. Ἐν καμίνῳ Παῖδες.*

Ἐπιστάντες βάρβαροι δεινοί, ἦραν φονώσαν χεῖρας, καὶ πλείστοις Βλάσιε, πόνοις καὶ ὀδύναις σε πικραῖς, ἀπέκτειναν ψάλλοντα· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥαντισθεῖσα αἵμασι τοῖς σοῖς, Σκλαβαίνων ἡ χθὼν θεόφρον, τὰ ἄνθη τῆς εὐσεβείας, ἐξανθεῖ πνευματικῶς, κραυγάζουσα Βλάσιε· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀφθαρσίας στέφανον λαβών, παρὰ Χριστοῦ ἀξίως, καὶ ξύλου τοῦ ζωηφόρου, ἐντρυφῶν διὰ παντός, ἱκέτευε Βλάσιε, ἀπὸ πάσης ἀνάγκης ῥυσθῆναι καὶ νόσου, τοὺς ἐπιτελοῦντας, τὴν σεπτήν σου μνήμην, καὶ τὸν Χριστὸν ὑμνοῦντας.

*Θεοτοκίον.*

Σαρκωθεὶς ἀτρέπτως ἐκ τῶν Σῶν, αἱμάτων Θεοτόκε ὁ πάντων Θεὸς καὶ Κτίστης, πρὸς αἰώνιον ζωήν, εἰσάγει τοὺς ψάλλοντας· Εὐλογοῦμεν τὰ μεγαλεῖά Σου Κόρη, καὶ τὴν πολλήν Σου δόξαν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Τύπον τῆς ἁγνῆς.*

Ἴσος ἀνεδείχθης Βλάσιε, τῶν τοῦ Χριστοῦ Μαρτύρων ἀθλήσας ἄριστα, καὶ νῦν σὺν αὐτοῖς, τῶν ὑπὲρ νοῦν ἀξιούμενος, ἐκδυσώπει ἀπαύστως δεόμεθα, ὑπὲρ τῶν ἐκτελούντων, τὴν ἱεράν σου μνήμην Ἅγιε.

Μέγας ἀντιλήπτωρ πέφηνας, καὶ ἀρωγὸς καὶ καύχημα καὶ στερέωμα, Βλάσιε σοφέ, Σκλαβαίνων τῶν εὐφημούντων σε, καὶ θερμῶς προσιόντων τῷ οἴκῳ σου, ἃ φύλαττε ἀπαύστως, πάσης ἀνάγκης καὶ κακώσεως.

Ὅλος φωταυγὴς τῷ Πνεύματι, ὡς τῷ πιστῷ γυναίῳ ὡρᾶσο Βλάσιε, οὕτω συμπαθῶς, δέξαι τὸν ὕμνον μου δέομαι, καὶ πταισμάτων μοι αἴτει τὴν ἄφεσιν, παθῶν με ἀκαθάρτων, ἀπολυτρούμενος ἑκάστοτε.

*Θεοτοκίον.*

Ὕδωρ τῆς ζωῆς ἀθάνατον, οἷα πηγὴ ἀκένωτος θείας χάριτος, βλῦσόν μοι ἁγνή, καὶ τῶν παθῶν μου τοὺς ἄνθρακας, Θεοτόκε Παρθένε κατάσβεσον, ἵνα Σε μεγαλύνω, ῥυσθεὶς μανίας τοῦ ἀλάστορος.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἐν ἀσκηταῖς διέλαμψας, καὶ μαρτυρίου αἵμασιν, ἐσφράγισας τὴν ζωήν σου, Ἱερομάρτυς Κυρίου, καὶ ὡς ἀστὴρ νεόφωτος, τῷ κόσμῳ ἀνατέταλκας, πυρσεύων ἡμᾶς θαύμασι, Βλάσιε θεοφόρε, ὁ πάλαι χρόνοις ἀθλήσας.

*Θεοτοκίον.*

Ὁ τοῦ Πατρὸς συνάναρχος, Λόγος καὶ συναΐδιος, ἐκ Σοῦ ἁγνὴ ἐσαρκώθη, ἀναλλοιώτως ἀτρέπτως, καὶ ἔσωσε τὸν ἄνθρωπον, κακίας τῆς τοῦ ὄφεως, διό Σε μεγαλύνομεν, Θεογεννῆτορ Παρθένε, οἱ διὰ Σοῦ σεσωσμένοι.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Ἀκολουθήσας Κυρίῳ Ὅσιε Βλάσιε, καὶ ἐγκρατείας πόνοις, τὴν ψυχὴν ἐκκαθαίρων, ὑπέστης ἀνενδότως ἐπιδρομήν, τῶν βαρβάρων καὶ τέθυσαι, σφαγιασθεὶς ὥσπερ πρόβατον παρ' αὐτῶν, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Τοῖς πάλαι χρόνοις ἀθλήσας Πάτερ στεῤῥότατα, ἀρτίως ἐπεγνώσθης, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ταῖς θείαις ἐμφανείαις σου ἀληθῶς, οἷς ἠθέλησας Βλάσιε, δι' ὧν ζωῆς σου τὸ τέλος τὸ ἱερόν, πάντες ἔγνωμεν ὑμνοῦντές σε.

Τὴν λειψάνων σου θήκην Πάτερ τὰ Σκλάβαινα, τὸ εὐσεβὲς χωρίον, ἐν Βονίτσῃ κατέχον, προστρέχει τῷ ναῷ σου τῷ ἱερῷ, καὶ γεραίρει τὴν μνήμην σου, ὃ ἀπὸ πάσης διάσωζε συμφορᾶς, τῇ πρεσβείᾳ σου πρὸς Κύριον.

Τῶν Ἀθλητῶν καὶ Ὁσίων τοῖς δήμοις Ὅσιε, καὶ θείων ἱερέων, ὡς λειτουργὸς Κυρίου, συνὼν καὶ συγχορεύων διὰ παντός, ἱερώτατε Βλάσιε, ἀεὶ δυσώπει σὺν τούτοις ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῇ ἐναρέτῳ σου ζωῇ, τὸ τῆς ἀθλήσεως γέρας προσετέθη, Ἱερομάρτυς Βλάσιε. Καλῶς γὰρ διεξάγων, τὸ πιστευθέν σοι ἀξίωμα, ὡς θεῖον δώρημα ἐδέξω, τὸ παθεῖν ὑπὲρ Χριστοῦ, καὶ τὸ αἷμα ἐκχέαι. Διὸ ποικίλοις αἰκισμοῖς ὁμιλήσας, βαρβαρικῆς ἰταμότητος περιεγένου, ἐν ἀνδρείᾳ ψυχῆς, αἰσχύνας τὸν ἀντίπαλον. Καὶ νῦν τὸν ἀμαράντινον ἀναδησάμενος στέφανον, μὴ διαλίπῃς ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν τιμώντων σε Ἅγιε.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη.

Ἀπόστολον ζήτει τῇ ΚΖ΄ Κυριακῇ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον: *Εἶπεν ὁ Κύριος· πάντα ὅσα ἂν θέλητε...* Ζήτει τῇ ΙΓ΄ Ὀκτωβρίου, τῶν Ἁγίων Μαρτύρων Κάρπου καὶ Παπύλου.

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιόν ἔσται δίκαιος. Ἀλληλούϊα.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Ὁσίων κλέος σεπτόν, χαίροις ἱερέων καὶ Μαρτύρων ὁ κοινωνός, χαίροις τῶν Σκλαβαίνων, ὁ θεῖος πολιοῦχος, Ἱερομάρτυς χαῖρε, Κυρίου Βλάσιε.